εἰς τὸ γνωσθῆναι τὴν ἰσχὺν αὐτοῦ;
6 καὶ αὐτὸς ἔδωκεν ἀνθρώποις ἐπιστήμην
ἐνδοξάζεσθαι ἐν τοῖς θαυμασίοις αὐτοῦ·
7 ἐν αὐτοῖς ἐθεράπευσεν καὶ ἦρεν τὸν πόνον αὐτοῦ,
μυρεψὸς ἐν τούτοις ποιήσει μεῖγμα,
8 καὶ οὐ μὴ συντελεσθῇ ἔργα αὐτοῦ,
καὶ εἰρήνη παρ᾽ αὐτοῦ ἐστιν ἐπὶ προσώπου τῆς γῆς.
9 Τέκνον, ἐν ἀρρωστήματί σου μὴ παράβλεπε,
ἀλλ᾽ εὖξαι κυρίῳ, καὶ αὐτὸς ἰάσεταί σε·
10 ἀπόστησον πλημμέλειαν καὶ εὔθυνον χεῖρας
καὶ ἀπὸ πάσης ἁμαρτίας καθάρισον καρδίαν·
11 δὸς εὐωδίαν καὶ μνημόσυνον σεμιδάλεως
καὶ λίπανον προσφορὰν ὡς μὴ ὑπάρχων.
12 καὶ ἰατρῷ δὸς τόπον, καὶ γὰρ αὐτὸν ἔκτισεν κύριος,
καὶ μὴ ἀποστήτω σου, καὶ γὰρ αὐτοῦ χρεία.
13 ἔστιν καιρὸς ὅτε καὶ ἐν χερσὶν αὐτῶν εὐοδία·
14 καὶ γὰρ αὐτοὶ κυρίου δεηθήσονται,
ἵνα εὐοδώσῃ αὐτοῖς ἀνάπαυσιν
καὶ ἴασιν χάριν ἐμβιώσεως.
15 ὁ ἁμαρτάνων ἔναντι τοῦ ποιήσαντος αὐτὸν
ἐμπέσοι εἰς χεῖρας ἰατροῦ.
16 Τέκνον, ἐπὶ νεκρῷ κατάγαγε δάκρυα
καὶ ὡς δεινὰ πάσχων ἔναρξαι θρήνου,
κατὰ δὲ τὴν κρίσιν αὐτοῦ περίστειλον τὸ σῶμα αὐτοῦ
καὶ μὴ ὑπερίδῃς τὴν ταφὴν αὐτοῦ.
17 πίκρανον κλαυθμὸν καὶ θέρμανον κοπετὸν
καὶ ποίησον τὸ πένθος κατὰ τὴν ἀξίαν αὐτοῦ
ἡμέραν μίαν καὶ δύο χάριν διαβολῆς
καὶ παρακλήθητι λύπης ἕνεκα·
18 ἀπὸ λύπης γὰρ ἐκβαίνει θάνατος,
καὶ λύπη καρδίας κάμψει ἰσχύν.
19 ἐν ἐπαγωγῇ παραμένει καὶ λύπη,
καὶ βίος πτωχοῦ κατὰ καρδίας.
20 μὴ δῷς εἰς λύπην τὴν καρδίαν σου,
ἀπόστησον αὐτὴν μνησθεὶς τὰ ἔσχατα·
21 μὴ ἐπιλάθῃ, οὐ γάρ ἐστιν ἐπάνοδος,
καὶ τοῦτον οὐκ ὠφελήσεις καὶ σεαυτὸν κακώσεις.

6[1] ανθρωπω A† || 7[1] τον] παν A (cf. Iud. 7 4 B) | αυτου] -των Sc || 8[1] συντελεση B† || 9[1] αρρωστημασιν A || 13 ευωδια S: cf. 20 9 || 14[1] γαρ > S*† || 15[2] ιατρου] αυτου A† || 16[1] καταγε S || 18[1] λυπης γαρ] tr. S | 18[2] καμπτ⟨ε⟩ι S*† || 19[1] απαγωγη παραβαινει B† | και > Sc | 19[2] κατα] καταρα pau.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/446 UNIVERSITÄT LEIPZIG